ἕτερα, πολλῷ τούτων χαλεπώτερα. [Ταῦτα μὲν γὰρ ἐν τῇ γεέννῃ καὶ τούτων πικρότερα], ἡ γὰρ τῶν ἀποκειμένων ἀγαθῶν ἀπόπτωσις τοσαύτην ἔχει τὴν ὀδύνην, τοσαύτην τὴν θλῖψιν καὶ τὴν στενοχωρίαν ὡς, εἰ καὶ μηδεμία τιμωρία τοῖς ἐνταῦθα ἁμαρτάνουσιν ἔκειτο, αὐτὴν καθ' ἑαυτὴν ἀρκέσαι καὶ τῶν ἐν τῇ γεέννῃ βασανιστηρίων πικρότερον δακεῖν καὶ συνταράξαι τὰς ἡμετέρας ψυχάς.

**11.** Ἐννόησον γάρ μοι τῆς ζωῆς τὴν κατάστασιν ἐκείνης, καθ' ὅσον ἐννοῆσαι δυνατόν· πρὸς γὰρ τὴν ἀξίαν οὐδεὶς ἡμῖν ἀρκέσει λόγος· ἀλλ' ἐξ ὧν ἀκούομεν ὥσπερ διά τινων αἰνιγμάτων λάβωμέν τινα φαντασίαν αὐτῆς ἀμυδράν· « Ἀπέδρα, φησίν, ὀδύνη καὶ λύπη καὶ στεναγμός. » Τί οὖν ταύτης μακαριώτερον γένοιτ' ἂν τῆς ζωῆς; Οὐκ ἔστιν ἐκεῖ πενίαν δεδοικέναι καὶ νόσον· οὐκ ἔστιν ἀδικοῦντα οὐδ' ἀδικούμενον ἰδεῖν, [οὐ παροξύνοντα καὶ παροξυνόμενον] οὐκ ὀργιζόμενον, οὐ βασκαίνοντα, οὐκ ἐπιθυμίᾳ ἀτόπῳ φλεγόμενον, οὐχ ὑπὲρ τῆς τῶν ἀναγκαίων ἀλύοντα χορηγίας, οὐχ ὑπὲρ ἀρχῆς καὶ δυναστείας κοπτόμενον· πᾶσα γὰρ ἡ ζάλη τῶν ἐν ἡμῖν παθῶν σβεσθεῖσα ἀπόλλυται, καὶ πάντα εἰρήνη [ἔσται καὶ εὐφροσύνη] καὶ χαρά, πάντα εὔδια καὶ γαληνά, πάντα [ἡμέρα καὶ] λαμπρότης καὶ φῶς, καὶ οὐ τοῦτο τὸ νῦν, ἀλλ' ἕτερον τούτου τοσοῦτον λαμπρότερον ὅσον τοῦ λυχναίου τοῦτο φαιδρότερον· οὔτε γὰρ ἐκεῖ νύξ, οὔτε συνδρομὴ [κρύπτεται] νεφελῶν, [οὐ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/54 UNIVERSITÄT LEIPZIG